A / μέροψ A 60 εἰς τὸ ἐλθεῖν τὰ πτηνὰ πάντα καὶ πόντον ἡμερῶσαι θῆρας. κῦμα τε
δεινὸν παύσεις ἀγριόμενον καὶ φεύγειν πάντοτε πάντα δαίμονα καὶ εἰς τὸ εἶναι μέ-
γα O 64 συμβουλὴ ἑτέρα I / εἰς ὀξυωπίαν καὶ κεφαλαλγίαν ὀφθαλμῶν καὶ εἰς τὸ εἶ-
ναι ἐπιτευτικὸν καὶ φοβερὸν O. 36 Kyr. III 13, 4.

Rekonstuktionsversuch

Μακάρταθ' Ἑρμῆ. ζῷόν ἐστι σὸν μέροψ
θεῶν τ' ἄγνωστός ἐστιν αὐτοῦ ἡ φύσις.
γένος γὰρ ἀνδρῶν ὧν τις ἡμίθεος σοφῶς
νοῶν, φρενήρης ὢν τε καὶ μύστης θεῶν
οὐκ ἂν ποθ' εὕροι τοῦτο ἀλλὰ πταίσειεν.
ἀνυπέρθετος γάρ ἐστιν αὐτοῦ ἡ φύσις.
φορῶν δὲ τοῦτον πᾶν μαθήσει τούν θεοῖς
τὰ κλεῖθρ' ἀνοίξεις πάντα καὶ δεσμοὺς λύσεις
θῆρας δὲ πάντας ἡμερώσεις πάντοτε
τὰ πτηνὰ πάντα πρὸς σὲ προσελεύσεται
πόντου δὲ θῆρας ἡμερώσεις ὡς θεός.
παύσεις δὲ κῦμα δεινὸν ἀγριούμενον,
ἅπας δὲ δαίμων φεύξεταί σε πάντοτε.
ἀγαθὸς φανήσει πᾶσιν ἀνθρώποις μόνος.

5. Στοιχεῖον ε'. εὔζωμος βοτάνη ἡ καὶ τζαντύρη λεγομένη, εὐβοὴ πτηνόν, ὅ ἐστιν ἀηδών, ἐχῖνος ἰχθυοειδής, εὔανθος λίθος.

Εὔζωμος βοτάνη ἐστὶν ἐσθιομένη ὡς λάχανον, παρὰ πᾶσι γνωστόν. Εὐβοὴ πτηνόν ἐστιν, ὃ καὶ ἀηδὼν καλεῖται ὑπὸ πάντων γινωσκόμενον.

Ἐχῖνος θαλάσσιος ὑπὸ πάντων γινωσκόμενος.

Εὔανθος λίθος ἐστὶ πάγχρυσος· οὗτος ἀνῆκεν τῇ Ἀφροδίτῃ, ὅτι πολύχρωμός ἐστι καὶ ἀερώδης, ἢ ὡς κυανὸς ἔχων χρυσὰς ἶνας.

Τὸ οὖν εὔζωμον θερμαίνει. ἐπεὶ πλάνη ἐστὶ παρὰ πολλοῖς μὴ εἰδόσι τὰς φύσεις μιᾶς ἑκάστης βοτάνης. τὸ οὖν εὔζωμον καὶ τὸ πήγανον καὶ τὸ ἄγνον οἱ ἱερεῖς ἐσθίουσιν ἁγνείας χάριν· τὸ μὲν γὰρ χλωρὸν εὔζωμον ψύχει τὰς συνουσίας καὶ οὐκ ἐᾷ πολλὰ συνουσιάζειν, οὔτε πυκνῶς ὀρθιᾶν οὔτε ὀνειριάζειν· διὸ καὶ συνεχῶς ἐσθίεται παρὰ τῶν ἐν τοῖς ἱεροῖς διατριβόντων.

Τούτου τοῦ σπέρματος οὐγ. δ', πεπέρεως οὐγ. α' μετὰ μέλιτος πρωὶ καὶ ὀψὲ λαμβανόμενον, ὅσον δακτύλων δύο ὀρθιᾶν ποιεῖ. ἐὰν δέ

A G H F R I C O D N

1 ἀρχὴ τοῦ ἔψιλον (στοιχείου CO) CORDN / κεφάλαιον ε'CO / περὶ εὐζώμου βοτάνης ICO / ἡ καὶ - λεγομένη om.AGHFI: τουτέστιν βότανον λεγόμενον ῥοῦκα O / εὐβοῆς πτηνοῦ IO 2 ὃ: ἡ καί DN: om.ICO / ἐστιν om.ICODN / ἀηδὼς GF: om.ICO / ἀηδὼν λεγομένη DN / ἐχίνου θαλασσίου IO / ἰχθυώδης A: ἰχθυώδη G: ἰχθύδιον R: θαλάσσιος C / εὐανθὴς C / εὐάνθου λίθου IO / λίθος ἐστὶν AGHF 3 πᾶσίν ἐστιν γνωστὴ DN ἐσθιόμενον AGHF / ἐδώδιμος γάρ ἐστιν ὥσπερ λάχανον ἣν καὶ καλοῦσιν ἰδιωτικῶς ῥόκαν DN / ὡς om.AGHFICO / λάχανον om.GHF / λάχανον ἐσθιόμενον ICO / παρὰ om.IC OGFDN / πᾶσι γνωστὸν om.DN / γνωστὴ R 4 ἡ εὐβοὴ N / τὸ πτηνὸν DN / ἐστὶν om. DN / ὃ: ἡ I: ἥτις DN / καὶ om.AGHFIR / λεγομένη R: λέγεται DN: om.AGHFI / παρὰ πᾶσιν DN / εὐβοὴ - γινωσκόμενον om.C / γινωσκόμενος AGHF: γνωστὸν R: ὁμοίως γινώσκεται DN 6 καὶ ὁ ἐχῖνος ὡσαύτως DN / θαλάσσιος - γινωσκόμενος om.DN / ὑπὸ om.I / γνωστὸς πᾶσιν I 7 ὁ δὲ εὐανθὴς DN: εὐανθὴς ICO: εὐάνθιος R / πάγχροος ICO / ἀνήκει R: ἀνεῖται I / οὗτος - 8 ἐστὶ om.DN / πολυχρώμενος GHF / ἐστὶ εὐβοὴ πτηνόν ἐστι, ὃ καὶ ἀηδὼν καλεῖται, ὑπὸ πάντων γιγνωσκόμενον. ἐχῖνος θαλάσσιος ὑπὸ πάντων γινωσκόμενος C / καὶ - ἶνας om.AGHFICODN 9 τὸ μὲν DN / ἐπεὶ - ἐστὶ litt. vac. N / θερμαίνει - 10 εὔζωμον om.R / ἐπεὶ - δυνάμεις om.D / εἰδόσι: νοοῦσι AGHFICO / μιᾶς om.N / βοτάνης τὰς δυνάμεις ICO 11 αὕτη ἡ βοτάνη σὺν πηγάνῳ DN / τὸ om.DN / οἱ ἱερεῖς om.DN / τὸ οὖν - 11 χάριν om.ICORDN / ἐσθιομένη DN / χάριν om.DN 12 τὸ - χλωρὸν om.R / χλωρὸν om.C / τοῦτο δὲ τὸ εὔζωμον χλωρὸν R / καὶ - 13 συνουσιάζειν: ἐμποιεῖ τοῖς βουλομένοις ἀπέχεσθαι τῶν ἀφροδισίων DN / οὔτε - ὀρθιᾶν om.DN / πικρῶς ὀρχιᾶν GHF / ὀρθιεῖν CO / ὀρθιᾶν οὔτε om.R / ὀνειριᾶν οὔτε ὀρνιάζειν R / οὔτε ὀνειριάζειν: ἀλλὰ καὶ καθ' ὕπνους οὐκ ὀνειρώτειν ποιεῖ DN / διὸ - 14 διατριβόντων: διὸ (οἱ R) ἐν τοῖς ἱεροῖς (οἱ ICO) προσιόντες (οἱ GHF) (ἱερεῖς AGHFR) τοῦτο πυκνῶς ἐσθιόμενον (ἐσθίουσι I) (παρ' AGHFR) (ὑφ' CO) (αὐτῶν om.I) (καὶ I) οὐ συγχωρεῖ (παραχωρεῖ ICO) ὀνειριάζειν (ὀνειριάζεσθαι ICO) AGHFRICO 15 τὸ σπέρμα ις'κύμινον οὐγ. η'DN / οὐγ. δ' om.DN / πεπέριν AGHF / α': β'R: δ'A / πεπέρεως οὐγ.δ'σπέρματος ἀδράχνης (ἀνδράχνης N) οὐγ. β'ταῦτα λειώσας DN 16 καὶ ἐσθίων ὀψὲ τε καὶ πρωὶ δοκιμώτατον ἀθρήσεις φάρμακον τοῖς βουλομένοις ἁγνίζεσθαι ἀπὸ τῶν ἀφροδισίων DN / ὀψὲ λαμ-

τις τὴν ἡλικίαν ἐστὶ προβεβηκὼς καὶ τὸ μόριον ἔχει παρειμένον, ποιείτω τοῦτο· εὐζώμου σπέρματος οὐγ. ις', κυμίνου οὐγ. η', πεπέρεως οὐγ. δ', ἀνδράχνης σπέρματος οὐγ. β' λεῖα, μέλιτι ἀναλαβών· δίδου ὀψὲ καὶ πρωί, τοῦτο ἀσύγκριτόν ἐστιν. (17)

Τῆς δὲ ἀηδόνος οἱ ὀφθαλμοὶ καὶ ἡ καρδία περιαπτόμενοι ἐν κραβάτῳ ἀΰπνους ποιοῦσι τοὺς ἀνακειμένους. ἐὰν δέ τις λειώσας δώῃ τινὶ πιεῖν λάθρα, ἄυπνος ἀποθανεῖται· λύσιν δὲ οὐκ ἔχει.

Ἐχίνου δὲ θαλασσίου τὸ μεσομφάλιον ἐὰν λειώσας δώσῃς ἐπιληψίᾳ πειραζομένοις παραυτίκα κουφισθήσονται. δίδου δὲ μόνον μετὰ μέλιτος πλειστάκις.

Εἰς δὲ τὸν εὐανθῆ λίθον τὸν πάγχρυσον γλύφεται Ἀφροδίτη τὰς τρίχας καὶ τοὺς πλοκάμους τῆς κεφαλῆς ἀναδεσμουμένη καὶ ὑποβάλλεται ῥίζα τῆς βοτάνης καὶ ἀηδόνος γλῶσσα· καὶ κατακλείσας φόρει. καὶ ἔση πᾶσιν ἀνθρώποις φιλητὸς καὶ γνωστὸς καὶ ἠδύλαλος οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θεοῖς καὶ δαίμοσι, πᾶν δὲ θηρίον φεύξεταί σε.

βανόμενον: ὁ περιλαμβανόμενος GHF / λαμβανόμενος A / ἴσον ICO / ὀρθίως GHF 16-20 λαμβανόμενον - ἐστὶν om.DN / ἐὰν - ἐστὶν om.C 17 τὸ - παρειμένον: οὐ δύναται συνουσιάζειν I / ποίει AGHFCO 18 τοῦτο τὸ σύνθεμα R / τοῦ σπέρματος εὐζώμου R πεπέριν AGHF 19 ἀδράχνης AGHF: ἀνδράχλης I / β': κ'IO / ταῦτα λεῖα σὺν R: om.G HF / μετὰ μέλιτος GHF / ἀναλαβὼν: malim ἀναλαβέτω 20 τοῦτο - ἐστιν om.IR / ἐστιν om.O 21 τῆς: τοῦ R / ὁ ὀφθαλμὸς GHF / καὶ ἡ καρδία om.ICO / περιαπτόμενα DN 22 κρεβάτω GHF / ποιεῖ DN / δῷ DN 22-26 λειώσας - πλειστάκις om.C 23 λάθρα πιεῖν IDN / ἄυπνον ποιήσει ἀποθανεῖν αὐτὸν R / ἄυπνον παντάπασιν ἀπεργάσεται (ἀπεργάζεται D) DN / ἀποθανεῖται om.DN / ἀποθανεῖται ὁ πιὼν ἀγρυπνῶν O / λύσιν - ἔχει: οὐ γὰρ ἔσται τούτου λύσις DN: om.I / καὶ λύσιν R / δὲ om.R 24 μέσον ὀμφάλιον IO: μεσοφάλιον AGHF / δῷς IODN 25 τοῖς ἐπιληψίαν ἐνοχλουμένοις DN / πειραζομένῳ IO / πάραυτα κουφισθήσεται IO / κουφισμένον ἐμποιήσεις R: παύσεται ἡ ἐπιληψία DN / δίδου: ἀναλαμβανόμενον R / μόνον om.DNR 26 τοῦτο πλειστάκις μετὰ μέλιτος ἀποτέλεσμα γλυφῆς R / καὶ πλειστάκις DN 27 δὲ om.C / εὐαθῆ IORDN: εὔαθον GHF / λίθον ὃν ἔφημεν DN / τὸν om.DN / πάγχρουν I: πάγχρον CO / γλυφήσει C / ἡ Ἀφροδίτη DN / Ἀφροδίτην C: Ἀφροδίτης O 28 καὶ: ἡ ICOD / ἀναδεσμευομένη RICO: ἀναδεδεμένους ἔχουσα DN: ἀλειφομένη GHF / ὑποβάλληται R 29 ἡ ῥίζα DN / καὶ ἡ D καρκηδόνος GHF / γλῶσσαν IG: γλώσσης CO: γλῶττα τοῦτο ποιήσας R / καὶ om.IRD / κατακλείσονται τοῦτο ὁ φορῶν DN 30 καὶ ἔσῃ om.DN / φιλητός ἐσται DN / καὶ οὐ D N / φιλητὸς - 31 ἀνθρώποις om.G / ἀνθρώποις αἰδέσιμος DN / θεοῖς: θηρίοις AGHFR: θηρίοις φοβερὸς DN / καὶ πᾶν R / δὲ: σὲ R: γὰρ DN / διαφεύξηται R: φρύξεται GHF σε: ἀπ' αὐτοῦ DN: om.R.

Scholia marginalia

1 Ἀηδὼν A 7 ὁ λίθος Ἀφροδίτης ἐστὶν ἡδονὴν ὑπέχει χρώμενος A 9 εὔζωμος, ἄγνος, πήγανον A 11 εἰς τὸ ψύχειν τὰς συνουσίας καὶ μὴ συνουσιάζειν πολλὰ μήτε πυκνῶς ὀρθιάζειν καὶ μὴ ὀνειριάζειν O 17 πρὸς τοὺς προβεβηκότας τὴν ἡλικίαν καὶ τὸ μόριον ἔχοντας παρειμένον ἔστι τοῦτο ἀσύγκριτον O / ἀδράχνη A 21 εἰς τὸ ποιῆσαι ἄυπνον (ἀύπνως, εἰς τὸ ἀποθανεῖν ἄυπνον O) IO / εἰς τὸ ἀποθανεῖν τινα ἄυπνον A 24 εἰς ἐπιληψίαν O 29 εἰς τὸ εἶναι φιλητὸν (ἀνθρώποις πᾶσιν καὶ γνωστὸν καὶ ἠδύλαλον καὶ εἰς τὸ πᾶν θηρίον φεύγει O) IO / εἰς τὸ εἶναι σε πᾶσιν ἀνθρώποις φιλητὸν καὶ γνωστὸν καὶ ἠδύλαλον καὶ φοβερὸν θηρίοις καὶ δαίμοσιν A.

12 Diosk. II 140, 1 21 Kyr. III 5, 9.

6. Στοιχεῖον ζ'. ζμίλαξ βοτάνη, ζῶκος πτηνόν, ζμῦρνα θαλασσία, ζμάραγδος λίθος τίμιος πράσινος.

Ζμίλάξ ἐστι βοτάνη ἰσχυροτάτη ὡς κισσόφυτον. ἐὰν οὖν τις στέψῃ μετ' αὐτοῦ γυναῖκα δυστοκοῦσαν, πάραυτα τέξεται ἀπόνως. ἐὰν δὲ ἐν ταῖς καθάρσεσι δυσκολαίνει τις μετὰ ἀλγηδόνων καὶ περιζώσῃς αὐτὴν τῇ βοτάνῃ, καθαρθήσεται ἀπόνως. ἐὰν δὲ τοῦ χυλοῦ τῶν φύλλων δραγμὴν μίαν καὶ μέλιτος οὐγ. α' μίξας δώσῃς ὑδρωπικῷ, ἀκινδύνως κενωθήσεται. γυνὴ δὲ γευσαμένη αἱμορραγήσει.

Ζῶκός ἐστι πτηνόν. οἱ μὲν ζώδι καλοῦσιν, οἱ δὲ ἅρπην. ἐστι δὲ εἶδος λευκοῦ γυπός, νεκροβόρον.

Ζμύραινα θαλασσία γνωστὴ πᾶσι.

Ζμάραγδος λίθος πᾶσιν γνωστός.

Τῆς οὖν ἅρπης τὸ ἔντερον ἐὰν δώσῃς τινὶ φαγεῖν ἐν βρώματι, ὁ τοῦτο λαβὼν βαγήσεται· ἐσθίων ἔσται γὰρ ἀχόρταστος. (18) τὸ δὲ κωλέντερον τοῦ πτηνοῦ ἐὰν δώῃς λεῖον πιεῖν, ἢ ὀπτὸν φαγεῖν κωλικῷ,

A G H F R I C O D N

1 ἀρχὴ τοῦ (Ζ'στοιχείου CO)(σ ἀντὶ τοῦ ζ DN) CODN / κεφάλαιον ς' CO / τὸ ζ' R / περὶ ζμίλακος βοτάνης I / περὶ βοτάνης ζμίλακος (λεγομένης ζμίλαξ O) CO / καὶ ζώκου πτηνοῦ I / πτηνὸν ζαῦκος C / ζάκος DN / καὶ ζμυραίνης I / ἰχθὺς ζμύραινα C / ζμύραινα R / σμύρνα θαλάσσιος GHF: σμύραινα ἰχθὺς DN / θαλασσία om.I / ζῶκος - 2 πράσινος om.O / ζμάραγος C / καὶ ζμαράγδου λίθου I / σμάραγδος DN / τίμιος πράσινος: περσικὸς τίμιος DN: om.IC 3 σμίλαξ DN / βοτάνη ἐστὶν πάνυ DN / ἰσχυρότατος O / ὡς om.DN / χρυσόφυτον GHFR: ὑποχρυσίζουσα DN / ἂν O / οὖν: δὲ AR: γὰρ GHFomIO ἐὰν - 4 ἀπόνως om.C / μετ' : δι' DN / παραυτίκα R / ἀπόνως παραυτίκα DN 5 δὲ γυνὴ C / ἐν om.R / τις om.ICO / τις κενὼν τὸ καθαιρόμενον DN / μετὰ ἀλγηδόνων om.D ἀγηπόνων GHF / περιζώσας A: περιζώσει R: περιζωθῇ DN 6 αὐτὸν GHF: ἑαυτῇ R: ταύτην DN / τὴν βοτάνην (ἀπόνως DN) AGHFCORDN / τῶν φύλλων om.IOR 6-8 ἐὰν - κενωθήσεται om.C 7 δραγμὴν: κοκ.AGHF: οὐγ.RDN / καὶ om.DN / μίξας μετὰ μέλιτος DN / δώῃς IO: δῷς DN: πόσεις GHF 8 κενώσεις τὴν ὑγρότητα DN / δὲ τοῦτῳ O / αἱμορροΐσει DN 9 ζάκος DN: om.ICO / ἐστὶ om.ICODN / πτηνόν ἐστι (ζαῦκος ICO) ICODN / δ οἱ DN / μὲν: δὲ AGHFICO / καλοῦσιν ζώδι D / ζάγιον AGHF: ζύγγιον R: ζαύγιον ICO / φασὶν AGHFN 10 δὲ τὸ DN / γυπὸς λευκοῦ R: λευκὸς γυπὸς N: λευκόγυπος ICO / νεκροβόρου AGHF: νεκροβόρος N 11 (ἡ N) σμύραινα ἰχθύς ἐστι DN / σμύραινα CO / θαλάσσιος (ἰχθὺς I) IDN / πᾶσι γνωστὴ DN 12 σμάραγδος CODN / λίθος om.R / πᾶσιν om.DN / ἐστὶ γνωστὸς καὶ οὗτος ὁμοίως DN 13 ἅρπης τὸν ἐχῖνον ἢ ICO / τὸ om.ICO ἔντερον: πτερὸν DN / δώῃς ICO: δῷς DN / ἐν βρώμασι GHF: om.D 14 ὁ - λαβὼν om.R DN / φαγήσεται GHF / βαγήσεται - γὰρ om.C / ἐσθίων γὰρ I / ἐστὶν R / ἔσται - ἀχόρταστος om.DN / ἀχόρταστος ἔσται C / ἐσθίων ὡς μὴ δυνάμενος ἐμπλησθῆναι DN 15 κωλόντερον (δὲ C) CO: κωλοέντερον DN: κοιλόντερον GHF / λεῖον δῴῃς R / δῷς DN / λεῖόν τί ἐστιν GHF / πιεῖν om.GHF / κωλικοῖς DN: κωλικὸς R: om.ICO.

τελείως σωθήσεται. στέαρ δὲ συγχριόμενον μετ' ἐλαίου μύρου, τεταρταῖζοντας ἀπολύει. ἡ κόπρος δὲ λέπρας παύει μετ' ὄξους καταχριομένη. τὸ δὲ ἧπαρ διδόμενον ὡς ἂν βούλῃ φθείρει τὰ ἐντὸς πάντα.

Ὁ δὲ ζμάραγδος, λίθος ἐστὶ χλωρὸς βαρύτιμος.

Γλύψον οὖν ἐν αὐτῷ τὴν ἅρπην καὶ ὑπὸ τοὺς πόδας αὐτῆς τὴν ζμύραιναν καὶ ὑπὸ τὸν λίθον κατάκλισον ῥίζαν τῆς βοτάνης, καὶ φόρει πρὸς ταραχώδη ἐνύπνια καὶ θάμβει καὶ ὅσα σεληνιαζομένοις ἀνήκει· παύει δὲ καὶ κωλικούς. κάλλιον δέ, εἰ καὶ στέαρ ζμυραίνης ὑποβληθείη. τοῦτο ἐνθεόν ἐστιν.

---

16 τελειώσας G / σωθήσονται DN / τὸ στέαρ DN / δὲ: δὸς O / συγχρίων GHF: χρόμενον R: αὐτοῦ χριόμενον DN / ἢ μύρου DN 17 τεταρταῖζοντας AGHF: τεταρταῖζοντ I: τεταρταϊκοὺς DN / ἀπολύει: ἰᾶται DN: θεραπεύει R / ἡ om.AGHFCO / δὲ αὐτοῦ λέπρας παύει: λύτρας παυο GHF: om.DN / παύσει CO /καταχριόμενον CO: χριομένη (λέπρας παύει DN) RDN 18 ὡς: οἷς DN: ὅσον AGHFR / ἐὰν CO 19 ὁ: ἡ I / δὲ: μὲ ICO / σμάραγδος DNCO / πολύτιμος DN 20 ἐν τούτῳ τοίνυν τῷ λίθῳ εἰ γλύψῃς DN ἀποτέλεσμα γλυφῆς R / οὖν - τὴν om.DN / αὐτοῦ AGHFICO / τὸν ἰχθὺν τὴν μύραινα DN / σμύραιναν GHFCO 21 καὶ - λίθον om.DN / κατακλίσας δὲ ἐν αὐτῷ καὶ τὴν DN τὴν om.AGHFR / καὶ ταῦτα φορῇς ἀποτρέψει πᾶν ἐνύπνιον ταραχῶδες καὶ φοβερὸν D 22 τράχηλον πρὸς R / τὰ ταραχώδη AGHFR / καὶ θάμβει om.DN / ἔτι τε (καὶ N) DN ὅσα (τοῖς DN)(εἰς R) RDN / σεληνιαζομένους AG / ἀνῆκε AGHFICO: ἀκολουθεῖ DN δὲ om.AGHFICO / κωλικοῖς GHICO: κωλικὰς ὀδύνας DN / δὲ ἔσται τὸ φυλακτήριον τοτο DN / ζμυρναίνης GHF: ζμύρνης ICO: μυραίνης DN / ὑποβληθῇ AGHF: ὑποκλειθείη CO: ἀποβληθῇ R 24 τοῦτο γὰρ R / ἐστὶν om.I / τοῦτο - ἐστὶν om.DN.

Scholia marginalia

4 εἰς τὸ τίκτειν ἀπόνως O 5 εἰς τὸ καθαίρεσθαι O 7 ὑδρ<ωπικοὺς> θεραπεύει εἰς τὸ κενοῦσθαι τοὺς ὑδρωπικοὺς ἀπόνως O 8 εἰς τὸ αἱμορραγῆσαι γυναῖκα O "Αρπη A 13 εἰς τὸ ποιῆσαί τινα ἀχόρταστον O 15 εἰς τὸ σῶσαι τὸν ἀχόρταστον O / κωλικῷ θερ<απεύει> A 16 εἰς τεταρταῖζοντας, εἰς λέπρας, εἰς τὸ φθεῖραι τ ἐντὸς πάντα O / εἰς τεταρταῖζοντας καὶ λέπρας A 22 εἰς τὸ παῦσαι τὰ ταραχώδη ἐ ὑπνια, θάμβει καὶ ὅσα σεληνιαζομένους ἀνῆκεν O.

3 Diosk. IV 143. 9 Kyr.III 6,2.

7. Στοιχεῖον η'. ἠρύγγιος βοτάνη, ἡλίου ζῷον ἡ φοινικόπτερος, ἠφαιστίτης λίθος, ἡδονὶς θαλάσσιος, οἱ δὲ ἀμφίβιον.

Ἠρύγγιος βοτάνη ἐστίν, ὡς κάλαμος φυομένη, ἀκανθώδης, ἣ καὶ γοργόνιος λέγεται· δυνάμεως ἔχεται τοιᾶσδε. ἐὰν γάρ τις τὴν ῥίζαν φορῇ, δαίμονος πεῖραν οὐχ ἕξει ποτέ. ἐὰν δέ τις πνεῦμα ἔχει ἀερῶδες, τὴν δὲ ῥίζαν ὑποθήσῃ ὑπὸ τὰς ἐσθῆτας αὐτοῦ, ἐξομολογήσεται ὁποῖός ἐστι καὶ πόθεν, καὶ φυγαδευθήσεται ξένος ὤν. ἡ δὲ ὅλη βοτάνη σὺν ταῖς ῥίζαις, ποτιζομένη ὕδατι καὶ μέλιτι κωλικοὺς παύει. ἐὰν δὲ μετὰ οἰνομέλιτος ἐκζεσθῇ καὶ ποτίσῃς λιθιῶντας στραγγουριῶντας καὶ νεφριτικούς, ἀπαλλάξεις τοῦ πόνου. πινέτωσαν δὲ ἐπὶ ἡμέρας ις', πρωῒ καὶ εἰς κοίτην. ἐὰν δὲ καὶ φλοιὸν ῥοϊδίων συζέσῃς αὐτοῖς, κρεῖσσον ὠφελήσεις.

Τοῦ δὲ φοινικοπτέρου τὸν ἐχῖνον ἐὰν ζέσας δώσῃς λάθρα, κρεῖσσον ποιήσεις. (19)

Ἡδονὶς δὲ ἡ θαλασσία τὸ καὶ ἀφίδιν λεγόμενον συχνῶς ἐσθιόμενον τὰς γινομένας νομὰς ἐν τοῖς νεφροῖς ἀποθεραπεύει.

A G H F I C O R D N

1 ἀρχὴ τοῦ η' (στοιχείου κεφάλαιον Ζ' CO) CODN / τὸ η' R / στοιχεῖον η' om.I περὶ βοτάνης ἠρύγγιος CO / περὶ ἠρυγγίου βοτάνης ἔποπος πτηνοῦ I / ἠρύγγιον βοτάνη ἣ καὶ φοινικόπτερον λέγεται ζῷον ἡ γοργόνη DN / ἣ om.GHF / φοινικόπτερος ζῷον R 2 ἰχθὺς ἡδονὶς λίθος ἠφαιστίτης πτηνὸν ἔποψ C / πτηνὸν ἡδονίδος θαλασσίας ἠφαιστίτου λίθου I / ἠφυεστίτης H / ἡλίου – ἀμφίβιον om.O / ἡδονὶς – ἀμφίβιον om.I / ἡδινὶς GHF / ἰχθύς ἐστι θαλάσσιος DN : om.AGHF / ἀμφίδιον GHF : ἀφύδιον A / ἀμφίβιον λέγουσι DN 3 τὸ ἠρύγγιον DN / ἐστὶν ἀκανθώδης DN καλαμώδης R / φυομένη περὶ ἧς καὶ πρότερον ἐμνήσθημεν DN / ἣ – 4 λέγεται om. ICODN / γοργόρηχος R / ἔχεται δὲ δυνάμεως I / δύναμίν τε ἔχει τοιαύτην R / δυνάμεως – γὰρ om.DN / γὰρ om.R / τὶς : ταύτης DN 5 ῥίζαν αὐτῆς R / φορῇ – ποτὲ om.DN / εἰ DN / δὲ om.DN / τὶ GF / τὶς ἐν ἄλλῳ (πνεῦμα O) CO / ἔχει πνεῦμα I : πνοὴν ἔχει CO / πνεῦμα – 6 ῥίζαν om.DN / ἀέριον καὶ ὑποθέσῃ I / δὲ om. I / ὑποθέσῃ GHFIRDN / τῆς βοτάνης ἐπὶ τὰς I / ὑπὸ : ἐπὶ O : om.R / τὴν ἐσθῆτά τινος κοιμωμένου πάντα DN / τὰς αἰσθήσεις ICO / αὐτοῦ om.DN / ἐξομολογήσει R ἐξομολογήσεται τὰ ἑαυτοῦ ἐὰν καὶ ἀνέκφορα ἔχει καὶ DN / ἐξομολογήσεταί σοι I CO 7 ὁποῖον I / καὶ φυγαδευθήσεται : κοφυίδαν θήσεται GHF : εἰ φυγαδεύεται DN / ξένος ὢν om.ICO / γὰρ ὢν AGHF / (εἰλημένη I) (γεννημένη O) (γενομένη C) δὲ ICO / ἡ om.ICO 8 ἡ βοτάνη ICO / καὶ ποτιζομένη ICO / σὺν ὕδατί τε DN / καὶ μέλιτι om.GHF / κωλικὰς διαθέσεις DN 9 παύει : πάμπει GHF : θεραπεύει I / οἰνομέλιτος : μέλιτος I / ζεσθῇ ICO / ποτισθῇ I : ποτίσῃ CO / λιθιῶντας στραγγουριῶντας om.C 9–11 ἐὰν – κοίτην om.R 10 τε καὶ DN : om.IO / νεφρικοὺς C / ἀπαλλάσσει ICO / τοῦ πόνου om.ICO 11 ιε' DN : γ' C / πρωῒ τε καὶ ἑσπέρας DN / πρωῒ – κοίτην om.C / φλοιὸν ῥοϊδίων : σὺ διαρροιῶν I : κθοσίη διαρροίας GHF : σὺ ῥωὰς O : σὺ διαρροίας DN : σίκια ῥοᾶς A : σὺ διαρωὰς C 12 συνζέσας CO : συνθεὶς R : συνεκζέσῃς DN / κρεῖττον ICODN / ὠφελήσεις : ποιήσεις τὸ φάρμακον DN / ὠφελήσει τὸν κόλον ἐὰν δὲ μετὰ οἰνομέλιτος ἐκζεσθῇ καὶ ποτισθῇ λιθιῶσιν στραγγουριῶσιν καὶ νεφριτικοῖς βοηθοῦσιν. πίνεται δὲ εἰς ἡμέρας ις΄ πρωῒ καὶ εἰς κοίτην R 13 τοῦ δὲ φοίνικος πτεροῦ τὸν ἐχῖνον ICO / δώῃς ICO : δῷς DN /

Εἰς δὲ τὸν ἡφαιστίτην λίθον τὸν καὶ πυρίτην λεγόμενον ἐὰν γλύψῃς φοινικόπτερον, παρὰ δὲ τοὺς πόδας αὐτοῦ σκορπίον, καὶ ὑποβάλῃς τῷ λίθῳ ῥίζιον τοῦ φυτοῦ μικρόν, ἕξεις φυλακτήριον ἐκ πάντων ζῴων ἰοβόλων. ἀποστρέφει δὲ καὶ ἐνδαλμοὺς νυκτερινούς. ποιεῖ δὲ καὶ ἐπὶ λιθιώντων. βασκανίαν δὲ πᾶσαν ἀποστρέφει.

Κεδνά τσα κεδνῶτ χάριν καὶ δεινὴ βροτοῖσιν ἅπασιν· αὐτὸς ἐφόρει Κρονίδης καὶ φάος ἐν ἄστροις. γαῖα καὶ κτήσει χρυσὸν καὶ ἄργυρον ἐξολοθρεύειν νόσον καὶ πενίαν δεινὴν δεσμοῖς κακὴν ὑπ' ἀνάγκης. οὐχ ὁρᾷ φὼς ἐὼν ἀγαθός. ἀλλ' ἔστιν ἀνάγκᾳ σείων γαῖαν ἅπασαν καὶ οὐρανὸν ἀστερόεντα μαστίζων μοίραισ<ι> βροτοὺς ἄγχων ὑπ' ἀνάγκης. αὐτὸς ἄναξ Κρονίδης τις ὁ Κυρανὸς ἐν ἑνὶ κόσμῳ ῥόμβοις ἀφθάρτοις κυλινδούμενος πορείαις κυκλίσκων τὰ πάντα ἀπ' ἀνατολίης ἐπὶ δυσμὰς ἑπταπόλοις ἄρκτοις δυσὶ συγκινούμενα πάντα. λισσομένη ψυχή, ἀρκείσθω ὅσα σὺ κάμνει λυομένου καιροῦ. εἰ καὶ μετὰ τὸ ἐγγίσαι ὄντως εὐθὺς θεὸν γινώσκουσα ἐν ἀέρι καὶ νεφέλαισι νοῦσον ὑπερφυγεοῦσα εἰς ὃν οἰκήσασα ἑκολάσθης ὦ ψυχὴ σὺ μάκαιρα ἀθάνατος ἀπὸ τότε οὖσα παῦσον σου κάματον ἐν σώματι· μηκέτι κάμνε ὡς ἐπιζητεῖν τίς οὐρανὸς ἢ πόθεν ὕδωρ. εἰ δὲ θέλῃς μαθεῖν φράσσω ὅσα κελεύεις. οὐρανός ἐστιν ὕδωρ καὶ πῦρ ἄστρα τὰ φαινόμενα καὶ σκό-

ἔτι κρεῖττον ποιήσει DN / κρεῖττον I / κρείττονα καὶ CO 16 ἡ δὲ ἡδονὶς ὁ ἰχθὺς DN / ἡ om.R / θαλάσσιος AGHFR / τὸ : ἡ DN / ἀφίδιον A : ἀμφίβιον DNR : ἀμφίδιον GHF / λεγομένη DN / ἐστιόμενον R : ἐσθιομένη DN 16 γενομένας AGHF / θεραπεύει I : ἰᾶται DN / ἀποτέλεσμα γλυφῆς R 17 δὲ : οὖν DN / καπυρίτην GHF πυρίττην λίθον CO / καλούμενον I 18 τὸ φοινικόπτερον ἢ τὴν ἅρπην ὑπὸ DN / φοινικόπτερος GF / δὲ om.GHFDN / δὲ αὐτῆς DN / καὶ om.ICO / ὑποβάλῃς δὲ AGHFICO 19 τῷ : τοῦ AGHF : om.ICO / λίθου AGHF / μέρος (τῆς ῥίζης DNR) ARDN / φυτοῦ : ἡρυγγίου DN / μικρὸν om.DNR / ἐκ om.AGHFICO 20 ἰοβόλων ζῴων R / φαντάσματα νυκτερινὰ DN / ποιεῖ – 21 λιθιώντων om.DN / καὶ om.R / ἐπὶ λιθιῶντας AGHF / καὶ βασκανίαν DNR / βασκοσύνην I : βασκοσύνην AGHFCO / δὲ om.GHFDNR / πᾶσαν om.DN / ἀποπέμπεται χρησιμεύει δὲ καὶ εἰς λιθιῶντας DN 22–48 κεδνὰ – ζῴων om. D 22 μαίδνας ICON / ἀκιδροχαρῆ I : ἀκιδνωχαρῆ CO : ἀκεδνόχαριν N / δεινὸν A αὐτός τε ICON / φορεῖ ICO : φωνὴ N / κεδνὰ – 23 ἄστροις in mg.N / Κρονίδης : κορωνίδα R / γαῖα : γάλα GHF / κεκτήσει GHF 23–48 γαῖα – ζῴων om.N 24 ἐξολοθρεύειν νόσον om.ICO / κακοῖς GHF 25 οὐκ – φὼς : οὐ κέραφος GHFR / ἐὼν : ἀὼν R : ἐστὶν GHF / ἀλλ' om.R / οὔκ ἐστιν R 26 καὶ ἀστερόεντα AGHF / βροτοῖς R / ἄγχο GHFRCO 27 ὑπ' : π' GHFR / Κρονίδη I : Κρονίδος R / ὁ Κυρανὸς : ἀκεανὸς GHF : ὁ τύραννος ICO / ἑνὶ : ἕλι CO / ῥόμβοις : ῥόμξαις R 28 ἅπαντα AGHFR 29 ἀντολίαις O : ἀνατολίας AGHF : ἀντηλίαις I : ἀνατολίαις C / δυσμαῖς GHFRICO / ἑπτάπολος GF : ἑπταπόλοιο ICO : ἑπτάπους H / ἄρκτοιο I / δυσὶ : δὲ AGHFR / συγκενούμενα GHF : συκενεούμενα R : κενούμενα ICO 30 συγκάμενοι AGHF / λυομένῳ καιρῷ AGHFR / εἰ – 31 ὄντως : οἱ ἐκ γῆς ἐόντες (ἐόντος CO) ICO / εὐθὺς : ἴσθι ICO / γινώσκοντα C / νοσοῦν AGHFR 32 ὑπέρφυγε οὖσα ICO / οἰκήσασθαι AGHF : ὁρκίσασα R / ὦ om.ICO / μάκαρα IO : μάκαρος C 33 τότε : τόπου AGHFR / κάματι GHF / κάμνε om.R / καὶ ὡς R / φράζω CO / ἢ – 35 οὐρανὸς om.AGHF / ἢ – σκότος om.R.

Rekonstruktionsversuch

Κεδνὰ τσα κιδνωτ χάριν καὶ δεινὰ βροτοῖσιν ἅπασιν
αὖτε φόρει Κρονίδης, καὶ φάος ἐν ἀστράσιν αἴθει
καὶ κτίζει χρυσόν τε καὶ ἄργυρον ἐξολοθρεύειν
νοῦσον καὶ πενίαν δεινὴν δεσμοῖς ὑπ' ἀνάγκης.
οὐκ ἄρα πᾶς αἰὼν ἀγαθός, ἀλλ' ἔστιν ἀνάγκη
σείων γαῖαν ἅπασαν κούρανὸν ἀστερόεντα
μαστίζων, μοίραισι βροτοὺς ἄγχων ὑπ' ἀνάγκης
αὐτὸς ἄναξ Κρονίδης· εἷς Κύρανος εἰν ἑνὶ κόσμῳ
ῥόμβοις ἀφθάρτοισι κυλινδομένισι πορείαις
κυκλίσκων τάδε πάντα ἀπ' ἀντολίης ἐπὶ δυσμὰς
ἑπταπόλοις ἄρκτοις δυσὶ συνκινούμενα πάντα.
λυσομένη ψυχή, ἀρκείσθω ὅσσα σὺ κάμνεις,
λυομένου καιροῦ, εἰ καὶ μέγα, ἔγγισαι ὄντως,
εὐθὺ θεὸν γίνωσκε ἐν ἀέρι καὶ νεφέλαισι
κόσμον ὑπερφυγέουσ' ἐς ὃν οἰκήσασ' ἑκολάσθης.
ὦ ψυχὴ σὺ μάκαιρα καὶ ἀθάνατος τότ' ἐοῦσα
παῦσον σου κάματον ἐν σώματι· μηκέτι κάμνε
ὥστε ἐπιζητεῖν τίς ὁ οὐρανὸς ἢ πόθεν ὕδωρ.
εἰ δ' ἐθέλεις τὰ μαθεῖν, φράσσω σοι ὅσσα κελεύεις.
οὐρανός ἐστιν ὕδωρ καὶ πῦρ καὶ ἄστρα φαεινὰ
καὶ σκότος ἐστὶν ὕπερθε, θεοῖς αὐτοῖς ἀλάλητον·
σφαῖρα κυλινδομένη ἀπὸ ἀντολίης ἐπὶ δυσμὰς
δινεῖ ἀυπνίᾳ ἀνέμων, κινοῦσα ἅπαντα·
ἐκ πόντου πρηστῆρ' ἀνάγει καὶ ἐς αἰθέρα λύει·
ἐκ πατάγου βροντήν τε καὶ ἀστεροπὴν πυρὸς ἅττει
καὶ γλυκερῶν ὑδάτων ὄμβρον· ῥιζήματα γαίᾳ,
μητρὶ θ' ἀπαντοτρόφῳ δεκτῆρι τε γαστρί τε θείᾳ
κρυπτούσῃ τάδε πάνθ' ὅσ' ἐς αἶψαν ἂν καθικνεῖται,
καὶ ῥίζας βοτανῶν, γαίης πολυανθέα τέκνα
ἃς περὶ τετραπόδων αἱ τετράδες αὖται φύουσιν,
πτηνῶν καὶ νεπόδων πάντων καὶ φωλεοκοίτων·
ἁπλῶς πάντα βροτοῖσι πέφυκε, τὰ δ' ἐχθρ' ἀπερύκει.

τος ἐστὶν ὑπερθε θεοῖς αὐτοῖς ἁλάλητον καὶ σφαῖρα κυλινδουμένη ἀπὸ ἀνατολῆς ἐπὶ δυσμάς. δινεῖ δὲ ἀυπνίαν ἀνέμων κινοῦσα ἅπαντα. ἐκ πόντου πρηστῆρα ἄγει καὶ εἰς αἰθέρα λύει· ἐκ πατάγου βροντὴν καὶ ἀστεροπὴν πυρὸς ἄγει καὶ (20) ὄμβρον ὑδάτων γλυκερῶν. ῥιζήματα γαῖᾳ μητρὶ ἀπαντοτρόφῳ, δεκτῆρι γαστέρι θείᾳ κρύπτουσα τὰ πάντα ὅσα εἰς γαίην ἂν καθικνεῖται, ῥίζης βοτανῶν γαίης πολυανθέα τέκνα φύουσιν, ἃς περὶ τετράσιν τετράποσι πτηνῶν καὶ νεπόδων πάντων καὶ φωλεοκοίτων ἁπλῶς πάντα βροτοῖσι πέφυκεν, ἐχθρὰ δὲ πάντα ἔοικεν.

Ἀρκείσθω ὅσα προεῖπον. πεζῷ δὲ λόγῳ καταλέξω καὶ δείξω τῆς ψυχῆς τὰ προμάντια ὄντα ὁρατὰ ὅσα προεῖπον· ἐπεσόμενα δὲ ἄλλα φράσω. ἔφρασα δὲ τοὺς μέλλοντας στίχους λέγεσθαι περὶ τῆς προγνώσεως καὶ τῶν ἐν αὐτῇ λοιπῶν οὕτως ζῴων.

Ζῷόν ἐστιν ἐν ἀέρι πετόμενον ὃ καλεῖται ἔποψ, ἐπτάχρωμον βασίλειον, ἔχον μήκει δακτύλων δύο ἁπλούμενον καὶ συστελλόμενον· αὐτὸ δὲ τετράχρωμον ὡς εἰπεῖν πρὸς τὰς τέσσαρας τροπὰς τοῦ ἐνιαυτοῦ. οὗτος καλεῖται κούκουφας καὶ ποῦπος ὡς ἐγράφη τὰ περὶ τούτου ἐν τῇ πρὸ ταύτης βίβλῳ Ἀρχαϊκῇ καλουμένῃ. ἔστι δὲ τὸ ζῷον ἱερόν.

Λαβὼν οὖν τὴν τούτου καρδίαν ἔτι σπαίρουσαν κατάπιε ἀντικρυς

6 ὕπερθε : ὑπὲρ ARI / ὑπερθέοις GHF 37 ἀνατολίης I / ἐπὶ : ἕως AGHFR / δινεῖ: δύνῃ AGHFR / ἀυπνίαι IO : ἀυπνέους GHF : ἄυπνος ἡ A / κινοῦσαι IOR 38 ἐκ πάνων ἡ ἐκ R / πρηστὴρ AGHFR / ἀνάγει AGHFR / πατάγων AGHFR 39 ἀστερόπνοος (ἀστεροπυρος CO) αὐγὴ ICO 40 μήτηρ C : μέτρια GHF / ἀπαντοστρόφῳ I : ἀπαντοτρόφε C: ἀντοτρόφων GHF 41 γαίην ἂν : γαλήνην AGHF / πολυένθεα GHF 42 ἃς περὶ : ἀέρι 43 φωλεοκύστων I : φωλεούντων C / βρωτῶν AGHFR / ἐχθρὰ : ἐδωχρα AGHFR : ἐχὰ O : αἰσχρὰ C 45 δὲ ὅσα R / καταλέξων R / τῆς om.ICO 46 ὧν τὰ A / προεῖν CO / ἐπεσόμενος R / φράσω scripsi : φράσειεν AICO : φράσοιμι R : φράσειν HF 47 μέλλοντας om.R / ῥηθέντας στίχους R : om.CO / λέγεσθαι στίχους CO : om. HFR 48 ἐν αὐτῇ om.ICO / οὕτως om.R / ζῴων om.ICO 49 ἔποψ ζῷον (ὄρνεον R) A IFR / ἔποψ δέ ἐστιν ζῷον DN / ἐστὶν λωβικὸν R / δ - ἔποψ om.DNR / ἐπτάχροον D : τετράχροον εἰς R 50 ἔχον λόφον DN / τῷ μήκει ICO / μῆκος R / τε καὶ DNR / τὸ om.DN 51 ἐστὶ δὲ τοῦτο DN / τετράχροον DN / ὡς - ἐνιαυτοῦ : ταῖς τέταρσι αις τοῦ χρόνου ἀναλογοῦν DN 52 παρά τισι κούκουφος DN / κούκοφας GHF : κούφος R / καὶ τοῦπος GHF : om.ICO / τούτου : αὐτοῦ R / ὡς - 53 καλουμένη om. / πρὸ ταύτης : πρώτῃ AR / τῇ βίβλῳ A / ζωαρχαϊκὴ GHF / δὲ ἡ φυσικὴ δύναμις ῦ ζῴου τούτου θαυμασία λίαν ἐὰν (εἰ N) γάρ τις ἀνατεμὼν τοῦτον ζῶντα καὶ DN ἱερὸν om.DN 55 οὖν : δὲ R : om.DN / τούτου : αὐτοῦ DN / πταίρουσαν ἀπόθες ἀγγεῖον ἔχον μέλι μετ' ὄξους ἔασον δὲ μένειν ἡμέρας ε΄ τῇ δὲ ἕκτῃ ἀνελὼν C ιίρουσαν IR / καὶ ζῶσαν καταπιῇ DN / ἀντικρὺ AGHFRDN.

τοῦ ἡλίου ὥρας πρώτης ἀρχομένης ἡ ὀγδόης. ἔστω δὲ ἡμέρα Κρόνου, σελήνης ἀνατολικῆς οὔσης. καὶ ἐπίπιε γάλα βοὸς μελαίνης μετ' ὀλίγου μέλιτος ἐκ τοῦ συνθέματος αὐθωρόν, ἵνα ἡ καρδία ὑγιὴς καταποθῇ, καὶ ἔσῃ προγινώσκων τὰ ἐν οὐρανῷ καὶ γῇ καὶ εἴ τις κατὰ ψυχὴν ἔχει τι καὶ ὅσα κατὰ τὰ κλίματα καὶ κατὰ πόλεις γίνεται καὶ τὰ μέλλοντα ἅπασιν ἀνθρώποις.

Ἔστι δὲ τὸ τοῦ μέλιτος σύνθεμα οὕτως: μέλιτος κοτύλην α' καὶ μαγνήτου ζῶντος λειωτάτου οὐγ. β' καὶ τῆς βοτάνης ἡρυγγίου καρδίας ζ'. ταῦτα λεῖα μίγνυε τῷ μέλιτι. ἔχε δὲ καὶ ἕτερον μαγνήτην εἰς ὃν τὸ ὄρνεον γέγλυπται τοῦτο, ὃν δεῖ ἐν τῷ τοῦ μέλιτος συνθέματι ἐμβρέχεσθαι. ὅταν δὲ θέλῃς προγινώσκειν {εἴ τι βούλῃ} πρόγευσαι δάκτυλον α', καὶ περίθου τὸν γεγλυμμένον μαγνήτην καὶ φόρει ἐν τῷ τραχήλῳ, καὶ προγνώσῃ πάντα περὶ ὧν θέλεις. ἐάν δὲ καὶ ἑτέραν καρδίαν καὶ ἧπαρ ἔποπος βάλλῃς ἐν τῷ συνθέματι, κρεῖττον (21) ἔσται καὶ ἔτι μνημονικότερον ποιεῖ. ἵνα δὲ μὴ φθειριάσῃ τὸ σῶμα τοῦ ἐσθίοντος τὸ μέλι ἡ τοῦ καταπιόντος τὴν καρδίαν, εἴωθε γὰρ ἐξαίρειν πλῆθος φθειρῶν, δέον ἀλείφεσθαι πρῶτον τῷ ἐλαίῳ τούτῳ· ἐλαίου κοτύλη α', σταφίδος ἀγρίας λειοτάτης οὐγ. β' λειώσας καλῶς καὶ ἐνώσας ἔχε ἀποκείμενον ἕτοιμον· ὅταν οὖν χρήζῃς εἰς κοίτην, ἄλειφε.

56 ἡλίου νῆστις ὢν C / ἡλίου ἱστάμενος DN / ἡ ὀγδόης om.R / ὀγδόης ἀρχομένης AGHFO / ἔστω δὲ om.DN / καὶ ἡμέρας ζ' (ξ' ἡ D) ἦγουν Σαββάτου DN / Κρόνου Σαββάτου I / ὥρας - 57 καὶ om.C / τῆς σελήνης R / σελήνης ἡ ἡμέρα σάββατο O / καὶ om. DNR / ἐπίπιε δὲ R : ἐπιπίῃ δὲ καὶ DN : ἔπειτα (πίε IO) ICO / μελαίνης - 58 μέλιτος om.C / τοῦ ἐκ DN / ῥηθησομένου συνθήματος ταῦτα δὲ πάντα ποιήσει τάχιστα καὶ DN / αὐθωρόν αὐτῷ τῇ ὥρᾳ I : ὀπωρῶν GF : ἀπορῶν H / ὑγιὴς οὖσα DN 59 καὶ om.DN / ἔσται γινώσκων πάντα τά τε ἐν τῷ DN / ἐν τῇ γῇ DN / εἴ τις : ὅσα R 60 ἔχεις R / τὶς O / ἔχοντι N / τὰ om.ICO / κλίματα τῆς γῆς DN / κατὰ om.DN R / τὰς πόλεις DN / πόλιν ICO 61 ἅπασιν om.R / γίνεσθαι ἀνθρώποις R 62 τοῦ om.DN / ἐκ μέλιτος σύνθημα τοιοῦτον DN / οὕτως : τοῦτο A : om.ICO / καὶ om. DNR 63 β': ς΄ GHF : γ' C / τῆς om.DNR / ἡρυγγίου βοτάνης DNR 64 ζ': η΄ C / λειώσας DN / μίγνυ ἐπὶ GHF : μιγνύῃ R / τῷ om.GHFI / τὸ μέλι DN / ἔχει GHF : ἔχεις A / καὶ om.AGHFR / ἕτερον : ὕστερον R 65 εἰς : ὃφ' R / ὃ GHF / τὸ ὄρνιον AG : om.ICO / τοῦτο γλύφεται DN / τοῦτον R : τούτου A : om.ICO / γέγλυπται κούκουφας καὶ ἔστω ICO / ὃν : τοῦτον R : om.ICO / δὴ GHF : om.ICO / τῷ - μέλιτος om.R / τῷ μέλιτι AGHFICO / τοῦ om.AGHFICO / (ἐν AGHF) τῷ συνθέματι AGHFRICO / συνθήματι DN 66 ἐνβρέχεσθαι IO : βρέχεσθαι C / καὶ ὅταν βλέπειν R / θέλῃς - τὶ om.C / δὲ θέλῃς om.R / προγινώσκειν : προνοήματα R / εἴ τι : οἷα R : om.DN / (περὶ οὗ ἂν DN) βουληθῇς AGHFDN 67 πρόγευσαι - καὶ om.DN / περίθου : τίθου G : πίθου HF / τὴν γεγλυμμένην R / καὶ om.ICOR / φόρει δὲ ICO : om.R 68 ἐν om.CO / τῷ om.ICO / πάντα προγνώσῃ R / προγνώσεις A / περὶ om.R / ὧν : οὗ CO : ὅσα R / βούλεις R / καὶ om.GHFR 69 ἑτέρου ICO / καὶ : ἢ DN / καὶ ἧπαρ om.C / ἔποπος : ἐμπότου AGHF : κούκουφα ICO : om.DN / ἐμβάλλῃς τοῦ ἔποπος DN / συνθήματι λειώσας πολλῷ κρεῖττον ἔσῃ DN / συνθέματι τοῦτο ἔσται R 70 ἔστω om.ICO / ἔτι om.IR / μνημονευτικότερον R / ποιεῖ om.DNR / ποιεῖ τὸν ἄνθρωπον I / φθειριάσῃ GHF 71 τῷ σώματι R / σῶμα σου τοῦτο ποιήσαντος DN / τοῦ - καρδίαν om.DN 72 ἐξαρεῖν GHF : ἐξανθεῖν DN : ἐξάγει C / φθει-

Ἐρώτησις πρὸς τὸν τεχνίτην. "λέγε μοι πρότερον· ἡ ψυχὴ ἀθάνατός ἐστιν ἢ θνητή"; καί φησιν· "τέκνον ἄκουε· πολλοὶ τῶν κακοτέχνων πλανῶνται τὸ νοερὸν τῆς ἀθανάτου ψυχῆς. αὐτὴ δὲ ἑαυτὴν ἐλέγχει, διατὶ τοῦ σώματος ἠρεμοῦντος ἐπὶ τῆς κοίτης καὶ ἡ ψυχὴ ἀναπαύεται ἐν τῷ ἰδίῳ τόπῳ (τουτέστι ἐν τῷ ἀέρι) ὅθεν αὐτὴν καὶ ἐλάβομεν· καὶ θεώρει τὰ ἐν ἄλλοις κλίμασι γινόμενα. πολλάκις δὲ καὶ φιλοστοργοῦσα τὸ σῶμα ἐν ᾧ κατοικεῖ πρὸ χρόνων προμαντεύεται τὰ ἀγαθὰ ἢ τἀναντία, ὃ καλεῖται ὄνειρος. εἶτα παλινδρομεῖ εἰς τὸ ἴδιον οἰκητήριον καὶ ἀνεγείρασα ἐξηγήσατο τὸ αὐτὸ ὄνειρον. ἐντεῦθεν σοι φανείσθω ὅτι ἡ ψυχὴ ἀθάνατος καὶ ἄφθαρτός ἐστι".

Οὕτως μὲν ὁ Ἀρποκρατίων εἰπὼν ἐνταῦθα τὸ στοιχεῖον τοῦτο ἐπλήρωσεν. ὁ δὲ Κυρανὸς τὰ μὲν ἄλλως κατέλεξε τὰ δὲ κατὰ συμφώνησιν. προσέθηκε δὲ ἀπὸ τοῦ ἔποπος ἀπόγευμα καὶ ὅτι εἶπεν ὅσα γίνονται ἐν τῷ κόσμῳ προγευόμενος γνώσει. εἶχεν δὲ ἐκεῖθεν οὕτως:

ρῶν πλῆθος R / τὸ ἔλαιον τοῦτο R / ἐλαίῳ : χρίσματι DN 73 ἐλαίῳ ICO / ταῦτα λειώσας DN 74 ἔχου ἀπόνδρομον GHF / ἀποκείμενον χρῶ δὲ αὐτὸ ὅταν βούλῃ C ἐπεὶ δὲ ὅταν O : καὶ ὅτε I / οὖν om.IO / χρήζῃς : δεῖ I 74-85 ἕτοιμον – ἐστὶ om.C 75 εἰς κοίτην om.DN / ἄλειψε AGHF : ἀλείφου R / ἀλείφου τοῦτο κοιταζόμενος DN 76 ἐρώτησις – τεχνίτην : διδασκαλία πρὸς τὸν υἱὸν αὐτοῦ O : om.IRD N / λέγε – 77 φησὶν om.IORDN / τέκνον ἄκουε om.AGHFRDN 77-89 πολλοὶ – οὕτως om.DN 78 κακοτέχνων : ψευδοσοφιστῶν IO / τὸ νοερὸν om.IO / ψυχῆς τὸ νοερὸν IO 79 ἐλέγχει θεωρία ὅτι R / διατὶ om.R / καὶ om.R 80 ἀναπαύηται R 81 ἐλάβομεν πρὸς θεὸν R / ἐλάβομεν (τουτέστιν O) τὴν ψυχὴν IO / γενόμενα IO 82 τῷ σώματι R / ἐν om.R / δ R 83 τὰ ἐναντία R 84 κατοικητήριον I / ἀνεγείρουσα R : ἀνεγείρας O : ἀνεγείρασθαι GHF / ἐξηγεῖται R / τὸ om.IO / αὐτῷ IO : om. R 85 φαινέσθω AR / οὖσα καὶ R / ἐστὶ om.R / ἐστὶ γῆς φυτὸν IO 86 μὲν οὖν R / εἶπεν GHF / οὕτως τὸ AGHF / τὸ om.CO / τὸ τοῦ I / τοῦ στοιχείου τούτου ICO / τοῦτο om.R / τέλος ἐπλήρωσεν ICO / πεπλήρωκεν AGHF : ἀπετέλεσεν R 87 συμφώνως I 88 ἀπογεύματος AGHF 89 δὲ om.AGHFICO.

Ἐπειδὴ δυσανεύρετός ἐστιν ἡ ἐσχάτη ῥίζα τοῦ ἡρυγγίου, ἧγουν ἡ κεφαλή, καὶ θέλεις αὐτὴν εὐλήπτως ἐπιτυχεῖν, ποίει οὕτως· λαβὼν σπέρμα ἡρυγγίου καὶ γῆν ἐν ᾗ φύεται, βάλλε εἰς γάστραν τὴν γῆν καὶ τὸ σπέρμα. πότιζε δὲ ἀραιάκις. καὶ ὅταν ἀναφυῇ καὶ γένηται ὥριμον ἐν τῇ γάστρᾳ ὥσπερ τὰ ἄλλα ἡρύγγια, τότε ψηλάφησον εἰς τὴν γάστραν ἁγνὸς ὢν καὶ νήστης ὡς πρέπει, καὶ εὑρήσεις κεφαλὴν γοργόνης. ταύτην ἀνελόμενος ἔχε ἕτοιμον.

Λαβὼν οὖν φώκης θαλασσίας τρίχας τὰς μέσον τῶν ῥινῶν καὶ τοῦ στόματος καὶ λίθον ἴασπιν χλωρόν, καὶ καρδίαν καὶ ἧπαρ ἔποπος καὶ ῥίζιον μικρὸν τοῦ ἡρυγγίου τῆς γοργόνης καὶ ῥίζιον παιωνίας τῆς γλυκισίδης καὶ σπέρμα περιστερεῶνος βοτάνης καὶ τὸ κοσμικὸν αἷμα τῆς χρυσανθέμου καὶ τῆς καρδίας τῆς φώκης τὸ ἄκρον, ἔτι δὲ καὶ τὸ βασίλειον τὸ ἐπὶ τῆς κεφαλῆς τοῦ ἔποπος κρεῖττον ἕξεις.

90-96 ἐπειδὴ – ἕτοιμον om.C 90 ἐπεὶ IO / ἐπὶ δὲ δυσεύρετος DN / ἐσχάτη : τελευταία DN : om.A / ἡρυγγίου τουτέστι τὸ ἀνθρωπόμορφον μέρος ὅπερ ἔοικε DN / ἧγουν om.AGHFRDN 91 ἡ om.DN / κεφαλῇ ἀνθρώπου εἰ θέλῃς DN / εὑρεῖν αὐτὴν R: om.DN / εὐλήπτως ταύτης DN / ἐπιτυχεῖν om.R / ποίησον DN 92 λαβὼν οὖν AGHF ᾗ πέφυκε φύεσθαι τὸ ἡρύγγιον DN / φύονται R / εἰς ληνὸν μικρὰν ἡ IO 93 γῆν δηλονότι R / καὶ σπεῖρον ἐν αὐτῇ DN / σπέρμα τοῦ ἡρυγγίου καὶ DN / δὲ αὐτὸ R : om.DN / ἀραιάκις : ἐννεάκις DN / ἀναφυήσῃ DN 94 ὥριμος N / οἰωνεῖ καὶ τὰ R / ψηλάφισον : ζήτησον DN 95 εἰς om.IO / γάστραν ὡς δεῖ IO / καὶ om.IO ὡς πρέπει : ἐπιμελῶς DN : om.IOR / εὑρίσκεις IOR 96 κεφαλὴν νησω O / κεφαλὴν γοργόνης om.DN / γοργόνος GHFIO / ταύτης ἀρνόγλωσσα GHF / ἑτοίμην ὅτε χρήζῃς DN / ἕτοιμον. κατασκευὴ θαυμασία καὶ δεδοκιμασμένη R 97 οὖν θαλασσίτους τρίχας R / τὰς τρίχας DN : om.ICO / μέσας R : μεταξὺ DN 99 ῥιζίου μικροῦ ICO / μικρὸν τῆς κεφαλῆς DN / τοῦ ἡρυγγίου om.R / τῆς γοργόνης om.DN / γοργόνος IO: βοτάνης C / γοργόνης τοῦ ὡς στυργας R / ῥιζίου ICO 100 γλυκισίδης τῆς καὶ παιωνίας DN / τῆς γλυκισίδης om.I / γλυκισίδης ἀποτελεσμένον καθάρηται R / βοτάνης om.I 101 χρυσανέμου DN / καὶ τὸ ἄκρον D / ἔτι : ἐστὶ R 102 τὸ βασίλειον : τὸν λόφον DN / τὸ ἐπὶ – κεφαλῆς om.DN / τῆς om.I / εἰς κρείττωνα χρείαν (χρείας D) DN.

πάντα οὖν τὰ προειρημένα (22) εἰσὶν εἴδη δέκα, ἅτινα σὺν μόσχῳ ὀλίγῳ περιειλήσας θυμιάματι τετραείδῳ ἔμβαλλε εἰς δέρμα ἰχνεύμονος ἢ φώκης ἢ ἐλάφου ἢ γυπὸς καὶ φόρει ἁγνὸς ὤν. εἰ δὲ καὶ χρυσώσῃς ἔξωθεν, κάλλιον ἔσται. ἔσῃ γὰρ εἰς πάντα ὅσα θέλεις ἐπιτυγχάνων, φιλητὸς παρὰ πᾶσιν ἀνθρώποις καὶ γυναιξίν. ἔσῃ δὲ καὶ φοβερὸς φαινόμενος καὶ εἰρηνικὸς καὶ ἥσυχος. θηρία δὲ πάντα ὑποτάξεις καὶ ἐχθροὺς κατὰ σοῦ φιλιώσεις. ἐὰν δὲ καὶ λύκου τὸν δεξιὸν ὀφθαλμὸν ἐμβάλῃς τοῖς προειρημένοις καὶ φορῇς, ἔσῃ εἰς πάντα ἀκαταγώνιστος, νικῶν εἰς πᾶν πρᾶγμα καὶ ἐπιτυγχάνων. φεύξεται γὰρ σε πᾶς δαίμων καὶ πᾶν θηρίον, καὶ ἔσῃ πᾶσιν εὐδαιμονῶν· καὶ ἄνοσον δὲ διαφυλάξει σε.

103 πάντων τῶν προειρημένων AGHFRDN / οὖν om.AGHFRDN / εἰσὶν om.AGHFRDN / εἰσὶν AGHFR : om.DN / δέκα om.AGHFRDN 104 εἰλήσας γὰρ ταῦτα σὺν DN / περιηλιάσας O : παρηλιάσας I : περικλείσας C : om.DN / καὶ θυμιάματι DNR 105 ἐλαφίου GHFR 106 κάλλιον ἔσται : τέλειον ἢ βέλτιον R / βούλει R / ἐπιτυγχάνων om.DN 106-109 ἔσῃ - φιλιώσεις om.C 107 καὶ φιλητὸς I / οὖν παρὰ O / παρά τε R / πᾶσιν om.R / ἀνδράσιν R / καὶ γυναιξὶν om.DN / γυναιξὶν καὶ πάντων ἐπιτεύξει ἐπιτυγχάνων DN) DNR 108 ἡσύχιος (καὶ DN) DNR / δὲ : τε R : om.DN 109 καὶ τοὺς IO / τοὺς κατὰ R / κατὰ σοῦ om.IODN / ἀπεργάσει φίλους IO / καὶ om.DNR / <σύκου> AGHF : φώκης λάβῃς R : λάβῃς τῆς φώκης DN 110 καὶ ἐμβάλλῃς DNR : συμβάλλῃς ICO / φορῇς ἔτι καὶ πιτύαν τῆς φώκης C / εἰς : πρὸς R 111 καὶ νικῶν R / παντὶ πράγματι DNR / φεύξεταί σοι R / γὰρ om.R / ἀπὸ σοῦ ἅπας N / φεύξεται σε om.D 111-113 νικῶν - σε om.C 112 ἐν (εἰς A) πᾶσιν AGHFRN / εὐδούμενος / εὐδαιμονῶν καὶ ὑγιαίνων IO / καὶ om.GHFIO / ἄνοσος RN / δὲ om.RN 113 διαφυλαχθήσει N : φυλαχθήσει R / σε om.RN.

Ἐγὼ δὲ καὶ τὴν πυτίαν τῆς φώκης ἔμιξα καὶ ἐνίκων πάντας τοὺς ἀντιδίκους μου καὶ ἀήττητος ἦμην. ὁ γὰρ φορῶν τοῦτο τὸ φυλακτήριον ἕξει ἀγαθὰ ὅσα οὐ προσδοκᾷ ἀπὸ τοῦ θεοῦ, καὶ ἔσται ἔντιμος πανταχοῦ, νικῶν ἐν πᾶσιν ἔργοις καὶ λόγοις, ῥυόμενος ἀπὸ παντὸς κινδύνου καὶ δαιμόνων καὶ φαρμακείας καὶ πάσης κακουργίας, καὶ ἁπλῶς εἰπεῖν, πάντα τὰ κακὰ ἀποστρέφει, πάντα δὲ τὰ ἀγαθὰ προξενεῖ. ἔστι δὲ καὶ προγνωστικόν, ὅπερ σὺν σοὶ θεὸς μόνος ἐπίσταται.

Ἐνταῦθα τὸ στοιχεῖον ὁ Κυρανὸς ἐτέλεσεν.

114 ἐγὼ - πάντας om.BP / ἐνίκουν R / ἐγὼ - 115 ἦμην om.C / ἀήττητα ἡμῶν BP / αὐτὸ ICO 115-120 ὁ γὰρ - προξενεῖ om. DN 115 ἐξάγει ἀγαθὰ παρὰ θεοῦ R / προσδοκεῖ C / ἀπὸ - θεοῦ om.R / πανταχοῦ ἔντιμος I 117 ἔργοις ἀγαθοῖς BP / ῥυόμενος : ἀπαλλαττόμενος R / ἀπὸ om.R / ῥυόμενος - 118 κακουργίας om.C / καὶ om.R / φαρμακειῶν BP 119 ὑποστρέφει καὶ R / δὲ om.R 120 ἔστι - ἐπίσταται om.C / ἔτι δὲ τὸ τοιοῦτον φυλακτήριον DN / προγνωστικὸν ἐκ τῆς δυνάμεως τῶν ἐν αὐτῇ συγκειμένων ἦν ἐκ τοῦ δημιουργοῦ ἔλαβον DN / ὅπερ : ὥσπερ IOBP / σὺ (ἔσῃ O) σὺν IO / σοὶ om.IO / σοὶ θεὸς : συνθέμεθα BP / θεῷ (ἔσῃ καὶ I) IO / μόνῳ O : οἱ δὲ μόνος R : om.BP / ἐπίστασαι BP : ἐπιστήσῃ I / ὅπερ - 122 ἐτέλεσεν om.DN ἐνταῦθα δὲ CR / τὸ στοιχεῖον om.C / ἀπετέλεσεν R.

Scholia marginalia.

1 η΄ C 4 γοργόνιος A 5 δωκτικὸν πνευμάτων I / εἰς τὸ μὴ ἔχειν ποτὲ πεῖραν δαίμονος O / δαίμονας ἀερώδεις ἐξομολογοῦσι A 6 εἰς τὸ ἐξομολογεῖσθαι τὸν δαίμονα πόθεν ἐστὶν καὶ ποῖος καὶ εἰς τὸ δῶξαι αὐτὸν O 8 εἰς κωλικοὺς O 10 εἰς λιθιῶντας στραγγουριῶντας καὶ νεφριτικοὺς O / πρὸς δυσουρίαν καὶ στραγγουριτικοὺς καὶ νεφριτικοὺς A 13 φοινικόπτερον ἐχίνου A 15 εἰς τὰς ἐν νεφροῖς γινομένας νομὰς O 17 πυρίτης A / φυλακτήριον παντοίων ζώων ἰοβόλων, ἰνδαλμάτων ἀποστρεπτικῶν νυκτερινῶν, καὶ λιθιώντων καὶ ἀποστρεπτικὸν πάσης βασκοσύνης O 22 ὕμνος AR 49 περὶ (τοῦ R) ἔποπος IR / ἔποπος ἐπτάχρωμο βασίλειον A / εἰς τὸ προγινώσκειν τὰ ἐν οὐρανῷ καὶ γῇ καὶ τί τις κατὰ ψυχὴν ἔχει καὶ ὅσα κατὰ κλίματα καὶ κατὰ πόλιν γίνεται καὶ τὰ μέλλοντα πᾶσιν ἀνθρώποις O / τετράχρωμον A / θαυμαστὸν πάνυ A / λέγεται καὶ ἀλεκτριὼν man. rec.N 76 περὶ ψυχῆς I 87 πρὸς πάντα ἐπιτυγχάνειν, εἰς τὸ εἶναι φιλητὸν παρὰ πάντων καὶ πασῶν, εἰς τὸ εἶναι φοβερὸν καὶ ἥσυχον, εἰς τὸ θῆρας ἡμερεῖν καὶ τοὺς οἰκείους ἐχθροὺς φιλώνειν, εἰς τὸ εἶναι ἀκαταγώνιστον καὶ ἅπασι νικητικὸν εἰς τὸ εἶναι ἄνοσον καὶ ῥύεσθαι παντὸς κακοῦ καὶ τὰ ἑξῆς. εἰσὶν γὰρ πράξεις φοβεραὶ O / τὸ παρὰ Πέρσαις ζούκω A 95 περὶ γοργόνης εὑρέσεως R 103 μόσχος A 109 εἰς ἔνδοξον εἶναι τὸν φοροῦντα δεξιὸν ὀφθαλμὸν A.

3 Diosk. III 21.1.10. 109 Kyr. II 24,26.

6. Στοιχεῖον θ'. θύρσις βοτάνη, θὺρ πτηνόν, θυρσίτης λίθος ὅμοιος κοραλλίῳ, θύννος ἰχθὺς θαλάσσιος.

θύρσις βοτάνη, ἥτις ἐστὶν διονυσιακή, θαμνώδης, ἀγαθὴ εἰς πάντα. **θὺρ** ἐστι πτηνὸν ὅμοιον ἱέρακι τῷ πελαγίῳ, δραστικόν, ἔνθεον. **θυρσίτης** λίθος ὅμοιος κοραλλίῳ.

θύννος ἰχθὺς θαλάσσιος, ἐδώδιμος ὅμοιος τῇ παλαμίδι, μέγας δὲ καὶ εὔγνωστος.

Βάκκερά ἐστι φυτὸν Διονύσου. αὐτὸ τὸ θύρσιον ἐν βάκχαις καὶ μαινάσι ληνοβατεῖται. γῆς φυτόν ἐστιν πεφυκὸς εἰς εὐφροσύνην ἀνθρώπων. νῦν δέ τινας λέξω (23) δυνάμεις τὰς εὐμαρεούσας ἐν οἴνῳ, ὅσα βροτοῖς πέφυκεν παρὰ χεύμασι ληνοβατεῖσθαι. τοῦτο ὕστερον αὖ μετέπειτα πεζῷ λόγῳ καταλέξω. εἰδέναι δεῖ. γῆς ἐστι τοῦτο.

Τοῦ οὖν φυτοῦ τούτου ἐάν τις λειώσῃ ὅσον δραγμὴν α' καὶ τοῦ λίθου οὐγ. α' καὶ εἴπῃ τὸ διονυσιακὸν ὄνομα, βάλῃ δὲ αὐτὸ εἰς κεράμιον οἴνου ὅθεν πάντες πίνουσιν ἓν ποτήριον μόνον, καὶ πιόντες ἀναλύσουσιν πάντες ὡς μεθύοντες καὶ εὐχαριστοῦντες, λέγοντες ὅτι "ηὔφρανας ἡμᾶς δέσποτα".

A G H F I C O R D N

1 ἀρχὴ τοῦ θ΄(στοιχείου CO) CODN / κεφάλαιον η΄ CO / στοιχεῖον τὸ θ΄ R : om.I περὶ θύρσου (θύρσεως O)(θύρσης C) βοτάνης ICO / καὶ θυρὸς πτηνοῦ καὶ θυρσίτου λίθου I / θύρσις – πτηνὸν om.DNR 2 ὅμοιος om.IC / κοραλλίου A : om.IC / κοραλλίῳ, θύρσις βοτάνη, θὺρ πτηνὸν DNR / καὶ θύννου θαλασσίου I / θὺρ – θαλάσσιος om.O / ἰχθύς ἐστι DN / θαλάσσιος om.C 3 ἥτις : ἣ AGHF : om.DNR / διονυσαϊκὴ A : om.DN / θαμνώδης, ἥτινι ἐστέφοντο αἱ (οἱ D) τοῦ Διονύσου ὀπαδοὶ DN ἀγαθὴ – πάντα om.DN 4 πτηνόν ἐστιν DNR / ἱέρακος τοῦ πελαγίου A / τῷ om.DN θαλασσίῳ DN / ἔνθεν GF : πάνυ DN 5 θερσίτης O / τῷ κοραλλίῳ CO : κοραλλίου AGHF 6 βρώσιμος DN : om.ICOR / τῆς παλαμίδος AGHF : πηλαμίδι DNR / δὲ καὶ om.R 7 εὔγνωστος θέρσιόν ἐστιν R : πᾶσι γνωστὸς DN 8-12 βάκερα – τοῦτο om. DN 8 μάκερα I : θάκερα CO / ἐστὶν om.R / αὐτὸ – θύρσιον om.R 9 μανάσι GHF ἐστὶν om.C / εὐφροσύνας R 10 ἀνθρώποις ICO / νῦν om.R / θείας δὲ R 11 ὅσοις AGHFR / βροτοῖσι ACO / παροχεύμασιν R / ληνοβατεῖσθαι scripsi : ληνοβατεῖν Hdd. / τοῦτο – 12 τοῦτο om.C / εἰδέναι – τοῦτο om.I / δεῖ : δὲ AGHF 13 τούτου τοῦ DN / οὖν om.DN / φυτοῦ ἢ τῆς θυρσίδος DN / τούτου om.DN / λειώσας D N / ὅσον om.AGHFRDN / δραχμὴν C : οὐγ. AGHFDN : κοκκίον R / α΄ : δ΄ARDN 14 οὐγ. α΄καὶ τοῦ θύννου τὸν δεξιὸν ὀφθαλμὸν C / οὐγ. : κοκκίον R / α΄ : δ΄ A : β΄ R / καὶ – ὄνομα om.DN / ἐπείπῃ ICO / διονυσαϊκὸν AO / ὄνομα om.I / καὶ βάλῃ DN / δὲ αὐτὸ om.DN 15 οἴνου om.C / οἴνου καὶ ἀπὸ τούτου πρὸς DN / ὅθεν – πίνουσιν om.DN / ἕνα AGHFO / ἓν τὸ λοιπὸν ἐξ αὐτοῦ R / ἓν – πιόντες om.I / μοναχὸν CO / μόνον καὶ om.DNR / πίωσι πολὺ πάντες DN 16 πάντες οἱ ἀνακείμενοι R / μεθυσθέντες R / εὐχαριστῶντες CO : εὐχαριστήσουσι DN / καὶ λέγοντες R / λέγοντες πρὸς τὸν ποτίσαντα N / ὅτι om.DN 17 εὔφρανας AGHF.

Rekonstruktionsversuch

Βάκκερά ἐστι φυτὸν Διονύσιον. αὐτὸ τὸ – – θύρσιον ἐν βάκχαις καὶ μαινάσι ληνοβατεῖται. γῆς φυτόν ἐστι πεφυκὸς ἐς εὐφροσύνην ἀνθρώπων. νῦν λέξω δυνάμεις παρὰ χεύμασιν εὐμαρεούσας οἴνῳ ἐν, ὅσσα βροτοῖσι πέφυκεν ληνοβατεῖσθαι.

Ἐὰν δὲ τοῦ θύννου τὸν δεξιὸν ὀφθαλμὸν βάλῃς εἰς τὸν οἶνον, καὶ εἴπῃς τὸ τοῦ Διονύσου ὄνομα καὶ ὅτι ἀναλυσάτωσαν οἱ ἀνακεκλιμένοι φίλοι μὴ πιόντες, ἀλλὰ καὶ εὐχαριστοῦντες ὡς εὐφραινόμενοι. ἐὰν δὲ καὶ πτερὸν τοῦ θυρὸς ὀρνέου κόψῃς μαχαίρᾳ ὁλοσιδήρῳ, βάλῃς τε εἰς κεράμιον οἴνου ἐπιλέγων τὸ ὄνομα τὸ διονυσιακόν, καὶ ὅτι "κύριε ἀνάστησον τοὺς ἀνακειμένους, αἱματεκχύτους γενέσθαι ἀλλήλους δέροντας", γίνεται οὕτως.

Εἰς δὲ τὸν θυρσίτην λίθον γλύψον θύρα τὸ πτηνὸν καὶ Διόνυσον κρατοῦντα τὸ πτηνὸν καὶ ὑπὸ τὸν λίθον ῥίζαν τῆς βοτάνης, καὶ κατακλείσας φόρει. καὶ ἔσῃ ἀμέθυστος, πρὸς πάντας χάριν ἔχων. ἔσῃ δὲ καὶ ἀκίνδυνος καὶ ἐπὶ κριτηρίων ἀήττητος. ἔστι δὲ τὸ διονυσιακὸν ὄνομα τοῦτο. ευι ευιε βακχευιυε ευιη οιωο αεηιη. ἡ δὲ ἀλήθεια τοῦ ὀνόματός ἐστιν ηοευ ἢ οωβ. οὕτως μὲν ὁ Ἀρποκρατίων, ὁ δὲ Κυρανὸς οὕτως. ευια βαιχευ ευιλευ Διόνυσε.

18-24 ἐὰν – οὕτως om.C 18 ἂν R / οἶνον τὸ ὅμοιον ἔσται DN 19-24 καὶ εἴπῃς – οὕτως om.DN 19 τὸ om.AGHF / ὄνομα εἴπῃς R / ἀναλύτωσαν I / κατακεκλιμένοι GHF : κεκλημένοι I : κλημένοι O : κατακυκλούμενοι A 20 ἀνακεκλιμένοι ἀναλύσουσιν οἱ ἀνακεκλιμένοι ἢ οἱ ἀνακειμένοι R / καὶ μὴ R : μὲ GHF : μὲν A / εὐχαριστοῦντες μοι ἀναλύσουσιν μὴ πιόντες (ἀλλὰ O) καὶ εὐχαριστοῦντες IO / εὐφρανθέντες I / εὐφραινόμενοι γενήσονται R 21 καὶ om.IO / πτερὸν ἢ (τὸ O) ἀκρόπτερον IO / ὀρνέου om.IO / κόψας IO / ὁλοσιδήρῳ μαχαίρᾳ R / μαχαίρι GFO 22 βάλῃς om.R / τε : καὶ R : δὲ IO / οἴνου τοῦτο βάλῃς R / ὄνομα τὸ om.R / τὸ διονυσαϊκὸν A : om.IO / διονυσιακὸν ὄνομα R 23 αἱματεχύτους AGHF : αἱματοφύρτους R 24 δέροντας : τύπτοντας I / γίνηται A / γίνεται οὕτως om.R / δέροντας ποιήσεις ἀποτέλεσμα γλύψεως R 25 δὲ : οὖν DN / τὸν ἐν ἄλλῳ O / θὺρ AGHFCODN / τὸ : τὸν C / τὸ – Διόνυσον om.DN / θὺρ (θύρσον O) τὸ ODN / πτηνὸν καὶ om.C 26 καὶ ὑποκατακλείσας μέρος τῆς DN / ὑπὸ – ῥίζαν om.DN / βοτάνης ῥίζης μέρος R / κλείσας ῥίζαν I : om.R / καὶ om.R / καὶ κατακλείσας om.IDN 27 ἀμέθυσος ACORDN / ἀμέθυσος καὶ χαρίτης DN / χάριν ἔχων om.DN / ἔσῃ : ἔστι AGHFRDN / ἔσῃ – 28 ἀήττητος om.G / δὲ om.C / δὲ τὸ φυλακτήριον τοῦτο DN / ἀκίνδυνον AGHFDN / κριτηρίῳ HFR / ἀήττητος ὡς μηδέποτε τῶν δικαίων σου ἐκπεσεῖν DN / διονυσαϊκὸν A 28-31 ἔστι – Διόνυσε om.DNC 29 τοῦτο : οὕτως R / ευι : ει A : om.R / ευιε : ευιρες AGHF : om.R / βακχευιυε : βραχὺ χειν AGHFR ευιη : ειη A : υιη O : ιη I / οιωο : οωο I : οωος GHFR / αεηιη : αεηιλ A : αεηελ GHF : αειηθ R / ἡ δὲ – 30 ἐστὶν om.R / καὶ ἄλλως ηρευ R / ηρευ : ιυευ IO : ηοσυ AGHF / οωδ GHF : οωλ IO / οὕτω GHF 31 εια AR.

Scholia marginalia.

θ βάκκερα A 13 εἰς εὐφροσύνην καὶ εὐχαριστίαν ἐκ τοῦ πιεῖν O 18 εἰς τὸ μὴ πιεῖν καὶ εὐχαριστεῖν ὡς ἐφραμένοι O 21 εἰς (πρὸς A) τὸ συνάψαι μάχην ἐν συμποσίῳ CO 25 εἰς τὸ εἶναι ἀμέθυσον πρὸς πάντας χάριν ἔχοντας ἀκίνδυνόν τε καὶ ἐπικριτοῖς ἀήττητον O 28 διονυσιακὸν ὄνομα A.

3 Diosk. I 97.

9. Στοιχεῖον Ι'. ἰτέα δένδρον, ἴασπις λίθος χλωρός, ἰκτὶς πτηνόν, ἰουλὶς ἰχθύς.(24)

Ἰτέα ἐστὶν δένδρον πᾶσι γνωστόν, ἄκαρπον.
Ἴασπις λίθος πᾶσι γνωστός
Ἰκτὶς πτηνὸν πᾶσι γνωστόν.
Ἰουλὶς ἰχθὺς θαλάσσιος, μικρός, ποικίλος, εὐκόπως εὑρισκόμενος.

Τῆς οὖν ἰτέας τὰ φύλλα χλωρὰ λειώσας, κατάπλαττε μετ' ὀλίγου ἁλὸς καὶ σιάλου ὀδυνωμένους σπλῆνα, καὶ πάραυτα ἄπονον ποιήσεις·ἐὰν δὲ θέλῃς καὶ ἐκτῆξαι τὸν σπλῆνα, τὸν φλοιὸν ζέσας ὀξυμέλιτι, δίδου νήστῃ κοχλιάρια δύο ἢ τρία, ἀποτριτῶν δὲ αὐτό. δίδου δὲ πρὸς τὴν δύναμιν ἑκάστου.

Εἰς δὲ τὸν ἴασπιν λίθον γλύψον ἰκτῖνα διασπαράσσοντα ὄφιν, καὶ ὑπὸ τὸν λίθον ἐκ τῆς κεφαλῆς τοῦ ἰούλου λίθον, καὶ κατακλείσας δίδου φορεῖν ἐπὶ τοῦ στήθους· πάντα δὲ πόνον στομάχου παύει καὶ πολλὰ ἐσθίειν ποιεῖ εὐπέπτως. ἔχει δὲ καὶ ἑτέρας δυνάμεις· τοῦτο φόρει ἐπὶ τοῦ στήθους καὶ ὄψει.

A G H F R I C O D N

1 (κεφάλαιον θ΄ O) ἀρχὴ τοῦ ι΄(στοιχείου CO)(κεφάλαιον θ΄ C) CODN / τὸ Ι΄R / στοιχεῖον Ι΄ om.I / περὶ ἰτέας δένδρου I: om.RDN / περὶ δένδρου ἰτέας (ὃ λέγεται ἰτέα O) CO / ἰάσπιδος λίθου I: λίθου ἄσπεως C:om.O / χλωρὸς om.ICO / ἰκτίνος πτηνοῦ I: πτηνὸν ἰάκτης C: om.O / ἰκτῖνος DN 2 ἰουλίδος ἰχθύος I: ἰχθὺς ἰούλιος C: om.O / ἰουλὶης GHF 3 ἐστὶν om.RDN / πᾶσι om.ICO / ἄκαρπον γνωστὸν ICO 4 ὁ ἴασπις (ἴασπιος R) RDN / ἀσπὸς C / γνώριμοςAGHFR / γνώριμός ἐστιν ὁ DN 5 ἰκτὶς – γνωστὸν om.AGHFRDN 6 ἰούλος GF / ἐστὶ μικρὸς πάνυ DN / εὐχερῶς I: εὐάλωτος ὃν φασιν οἱ πολλοὶ βελονίδι DN / εὑρισκόμενος om.DN 7 ἰτέας χλωρὰ IO θ ἁλὸς κατάπλασσε ICO / ἅλατος DN: κυλὸς GHF / καὶ σιάλου om.ICO / σιάλου: σίμβλου RDN: σίκλου GHF / ὀδυνῶμενον IDN: ὀδυνωμένην CO / σπλῆνα καὶ ἰαθήσεται C καὶ πάραυτα – 9 σπλῆνα om.AGHFRCDN / τὴν σπλῆναν O / δὲ (φλοιὸν DN) RDN 9-11 τὸν φλοῦν – ἑκάστου om.C 10 τρία καὶ ἴασῃ τὸ τοῦ σπληνὸς πάθος DN / ἀποτριτωθὲν R: ἀποτρίτωσον AGHF / δὲ om.R / αὐτὸς O / αὐτὸ ἐν τῇ ἐψήσει καὶ DN / δὲ om. DN / τὴν om.D / δίδου – 11 ἑκάστου om.R / ἑκάστῳ AGHF / ἀποτέλεσμα γλυφῆς R 12 λίθον om.ICO / ἰκτῖνον DN: ἴκτιν ICO / διασπαράττοντα IOR / τὸν ὄφιν DN / ὄφιν -13 κεφαλῆς om.C / λίθον κατακλείσας τὸν ἐπὶ τῆς DN / ἐκ om.DN / τοῦ: τὸν D:τῷ C: τῆς AGHFIO / ἰούλην D: ἰουλίδος IO: ἰουλίῳ C: ἰούλης AGHF / τὸν λίθον R: ἰχθύδιον C / λίθον καὶ om.I / καὶ κατακλείσας om.DN / δίδου om.I 14 φόρει I / ἐπὶ – στήθους om.ICO / στήθους καὶ ἔσται ὁ φορῶν παντὸς DN / καὶ πάντα R: πᾶν A / δὲ om.RDN / πόνου στομαχικοῦ ἀπηλαγμένον ποιεῖ δὲ καὶ DN / παύσει A / καὶ om.C 15 πολλὰ – εὐπέπτως om.C / ἐσθίειν καὶ O / ποιεῖν AIO: om.DN / εὐπεύτως R / ἔχει δὲ om.AGHFRDN / ἑτέρας δὲ RDN / δυνάμεις ἔχει DN / τοῦτο om.ICORDN / (ᾧς DN) ὁ φορῶν (αὐτὸ R) RDN 16 δὲ ἐπὶ ICO / τὸ στῆθος I: τῷ στήθει AGHF / ἐπὶ – καὶ om.DN / καὶ om.R / καὶ ὄψει om.ICO / ὄψεται DN.

Scholia marginalia
1 ἴασα ἡ ἔσσα ἡ μὲν ἀγρία ἡ δὲ ἥμερος, ὅ ἐστι τὸ λεγόμενον τζούρι A 7 εἰς σπλῆνα I / εἰς τὸ ποιῆσαι ἄπονον O 9 εἰς τὸ ἐκτῆξαι τὸν σπλῆνα O 12 εἰς τὸ παῦσαι πάντα πόνον στομάχου καὶ ἐσθίειν πολλὰ εὐπέπτως O.

ιθ. Στοιχειον κ'. κιναίδιος βοτάνη, κιναίδιος ἰχθύς, κιναίδιος λίθος, κιναίδιος πτηνόν.

Κιναίδιος βοτάνη, ἥτις ἐστὶ περιστερεῶν ὕπτιος Ἀφροδίτης.

Κιναίδιος πτηνόν, ὃ καλεῖται ἴυγξ, ὡς φησιν ὁ Κυρανὸς ἐνεγκὼν καὶ τὸν τοῦ θεοκρίτου στῖχον εἰς ὑπόδειγμα·

ἴυγξ ἔλκε τὸ πηνὸν ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα,

οἱ δὲ ἰύγγιον ἀττικόν, στρουθίον ἐδώδιμον ὡς ὄρτυξ, ἀνακλώμενον τὸν τράχηλον, ὥς φησιν ὁ Ἁρποκρατίων. οὗτος ἔχει τρεῖς λίθους περὶ τὸν τράχηλον, γλῶσσαν μικράν, ἀνῆκε δὲ τῇ Ἀφροδίτῃ.

Κιναίδιος ἰχθὺς θαλάσσιος· τὸ μέγεθος ἔχει δακτύλους ἓξ, κεφαλὴ πλατεῖα ὡς βλέννου. ἰχθύδιον στρογγύλον, διαυγὲς δὲ τὸ σῶμα ὡς φαίνεσθαι (25) αὐτοῦ τὴν ῥάχιν διὰ τοῦ σώματος ὡς διὰ σπεκλαρίου. πληθύνει δὲ ἐν τῇ παραλίᾳ τῆς Συρίας καὶ Παλαιστίνης καὶ Λιβύης. οὗτος οὖν ἔχει λίθους β', οἳ καὶ ἰδίας ἔχουσιν πράξεις, ὡς καὶ μεταξὺ ῥηθήσεται· εἰσὶ δὲ ἐν τῇ κεφαλῇ. ἔχει δὲ καὶ ἕτερον λίθον ἐν τῷ τρίτῳ σπονδύλῳ τῆς ῥάχεως παρὰ τὴν οὐράν, ὃς ἐστιν ἰσχυρότατος λίαν, καὶ ζητούμενος ἐν τῷ κεστῷ τῆς Ἀφροδίτης.

A G H F I C O R E D N B P

1 ἀρχὴ τοῦ κ' (στοιχείου κεφάλαιον ι' CO) CODN / στοιχεῖον κ' om.IDN / τὸ κ' R / περὶ κυναιδίου βοτάνης I : om.DNR / περὶ βοτάνης (λεγομένης O) κιναίδιος (πτηνὸν κιναίδιος C) CO / κιναιδίου πτηνοῦ κιναιδίου ἰχθύος κιναιδίου λίθου I : om.O / κιναίδιον πτηνὸν R 1-17 στοιχεῖον - ζητούμενος om.BP 1-48 στοιχεῖον - ἀπαλλάσσει om.E 3 ἥτις καὶ ὑπτία περιστερὰ καλεῖται DN / ἐστὶ om.D N / περιστερῶν CO / ὑπτία R : ὕπιος GHF / Ἀφροδίτης om.DN 4 ὁ κιναίδιος τὸ DN / δ om.DN / ἴυξ GHF : σεισοπύξ R / καὶ ἴυγξ παρά τισι δὲ καὶ σεισοπυγὶς διὰ τὸ τὴν ἑαυτῆς οὐρὰν μακροτέραν οὖσαν τοῦ δέοντος συνεχῶς κινεῖν DN / ὡς: τοῦτο R / ἔνεγκε CO / Κυρανὸς - 5 τοῦ om.R / 4-6 ὡς - ἴυγξ om.AGHF / ὡς - ἄνδρα om.DN 5 τοῦ om.CO / Θεόκριτος ἐν τοῖς ἔπεσιν οὕτως R / θεοῦ κριτοῦ CO στῖχον - ὑπόδειγμα om.R 6 σὺ ἴυγξ R : ἴυξ CO / ἔξελκε CO / τὸ : τὺ R : om. GHFCO / τηνὸν : τοίνυν C / δῶματι GHF 7 οἱ : τὸ R : om.DN / ἔστι δὲ DN : om. R / ἴγκιον R / ἰύγγιον ἀττικὸν om.DN / στρουθίον GF / καὶ ἐδώδιμον ICO / ἐδώδιμον πᾶσι γνωστὸν DN / ἔστιν δὲ ὡς R / ἀνακλώμενος A / ὡς - 8 Ἁρποκρατίων om.DN / ὁ om.ICO / οὗτος ὁ ὄρνις DN / λίθους ἔχει DN / ὡς - 9 τράχηλον om.GHF / τράχηλον ὥς φησιν Ἁρποκρατίων. οὗτος ἔχει τρεῖς λίθους περὶ τὸν τράχηλον C / γλῶσσαν δὲ DN / μακρὰν ICO / μικρὰν ἔχων AGHFRCO / καὶ ἀνῆκε R / δὲ om.C / ἀνῆκε - Ἀφροδίτῃ om.DN 10 ὁ κιναίδιος DN / θαλάσσιός ἐστι DN / τὸ μήκιστον ICO / ἔχων R : om.DN / δακτύλων DN 11τε πλατεῖαν ἔχων ὡς βληννὸς R ἔχων ὥσπερ βλέννη DN / βλέννου CO / ἰχθύος ICO / ἰχθύδιον - δὲ om.DN / τὸ δὲ λοιπὸν σῶμα στρογγύλον καὶ διαυγὲς DN 12 σπεκλαρίου I : βέλου DN 13 εὑρίσκεται δὲ εἰς πλῆθος DN / τῆς τε DN 14 γοῦν R : om.DN / β': ιβ'DNR / οἳ καὶ om. DN / ἕκαστος δὲ τούτων ἰδίαν ἔχει ἐνέργειαν DN / καὶ om.I 15 ὡς - ῥηθήσεται om.DN / ῥηθήσονται AGHF / δὲ οἱ ιβ' DN / τῇ τούτου DN / κεφαλῇ τοῦ ἰχθύος ἀλλὰ R / δὲ om.R / καὶ om.AGHF 16 ἐν om.CO / ῥάχις GHF / ἐστὶν δὲ A 17 καὶ - Ἀφροδίτης om.DN / κεστῷ : καιρῷ GHFR.

Ὁ δὲ κιναίδιος λίθος εὔγνωστος ὢν <ὅμ>ως δύσγνωστος ὑπάρχει, ὃς καλεῖται ὀψιανός. ἔστι δὲ Κρόνου. οὗτος ὁ λίθος ἐστὶ δισσός. ὁ μὲν γάρ ἐστι σκοτεινὸς καὶ μέλας, ὁ δὲ μέλας μέν, διαυγὴς δὲ ὥσπερ τὰ κάτοπτρα. οὗτός ἐστιν ὃν ζητοῦσιν πολλοί, καὶ οὐ γινώσκουσιν αὐτόν. οὗτος γάρ ἐστι δρακόντιος λίθος.

Ἐὰν οὖν τις βραχὺ τῆς βοτάνης μετὰ κόπρου γυπὸς ὑποθυμιάσῃ ὑπὸ περσικίαν, φυλλοροήσει. ἐὰν δὲ ὑπὸ τὸ προσκεφάλαιόν τινος ὑποτεθῇ ἡ βοτάνη, οὐκ ὀρθιάσει ὁ κατακείμενος. ἐὰν βραχὺ λειώσας ὥς πιεῖν ἀνδρί, οὐκ ὀρθιάσει ἐν τῇ συνουσίᾳ ἐπὶ ἡμέρας ζ'. ἀλέκτορι δὲ ἐὰν ὡς μετὰ ἀλφίτων, οὐ πατήσει θήλειαν.

Τοῦ δὲ κιναιδίου ἰχθύος λίθου τοῦ ἐν τῷ τρίτῳ σπονδύλῳ τῆς ῥάχεως ἐὰν ὡς τινι ἐν ποτῷ ἢ ἐν βρώματι, τὸν λίθον ὁ λαβών, κίναιδος ἔσται ὁμολογουμένως αὐθημερόν. ἐὰν δὲ ἀλεκτρυόνι αὐτὸν ὡς μετὰ ἀλφίτων, ὑπὸ ἑτέρων ἀλεκτρυόνων βιβασθήσεται πυκνῶς· καὶ ἄλλον οἷον ἂν ᾖ ἀρρενικὸν ζῷον μαλθακιάσει. ἐὰν οὖν τὸν λίθον τοῦτον βάλλῃς, μετὰ τοῦ ὁμοίου ζῴου βιβασθήσεται ὡς θήλεια· ὅσα ἀληθῶς ὁ προειρημένος λίθος ποιεῖ.

